πείθω παραδοῦναι τὴν ἐμὴν ἀδικούμενος
αὐτός;
(*Λα.*) ὑπόμεινον δι' ἐμέ.
(*Χαι.*) νὴ τὸν Ἥλιον
αἰςχύνομαι Λάχης cε. τί.....[
ἄκουε δή μου. Μοςχίων τὴν παρθένον
ἑλ]ὼν ἔχει, Κλεαίνετε.
⟨*Κλ.*⟩ ἠδικήμεθα.
(*Χαι.*) μηθὲν βοήςηις. γνηςίων ἐπὶ ςπορᾶι
παίδων. ὁ πατὴρ αὐτοῦ [παρ]ὼν Λάχης ὁδὶ
τοῦτ' ἐπιβεβαιοῖ. φῄς c[ύ;
[*Λα.*] φημ]ί, Χαιρέα.
οὐ] γάρ τι βούλ[
(desunt uersus v uel vi)

]ποc ἦν | ] ἐμοὶ | κα]λῶc ἔχει: | κα]τὰ τρόπον | ]γάρ μοι διαφέρει | τ]ὰ γεγονότα: | ] πρᾶόc γ' εἶ cφόδρα | ]εν: οὐδὲ γάρ c' ὁρῶ | ] ἀγανακτ[

(*Λα.*) ] ἐ[κ τηλι]κούτων νῦν φόβων
τὸν ὑὸν ἐκ[λυcά]μενος.
(*Κλ.*) ἀλλὰ μὴν πάλαι
ἡμῖν ἔδοξ[ε τοῦ]τ'· ἔχει τὴν παρθένον
ὁ Μοςχίων· [ἔλαβ]' ἐθελοντής, οὐ βίαι.
ὠιόμεθα χαλεπανεῖν cε τοῦτο πυθόμενον.
ἀcτεῖοc ἀποβέβηκαc· εὐτυχήκαμεν·
περὶ τοῦ βοῶμεν;
(*Λα.*) πῶc λέγειc;
(*Κλ.*) ὥcπερ λέγω.
(*Λα.*) οὐ Χαιρέαι τὸ πρῶτον ἐξεδώκατε



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/306 UNIVERSITÄT LEIPZIG